[*Δη.*] διὰ τί, Κράτεια, φ[.]ρ̣[
[? *Κρ.*] ὁ τοῦτο πράξας ἐ̣[
(*Κρ.*) ἀλλά, πάτερ, ε[ ]α
ἅπαντ' ἀ[.....]υκ[
βουλευτέον νῦν ἐστιν· ἀλληκα[.]εδ[
ἔ]ζην· ..πρέπει μετ[
[? *Δη.*] ὦ τοῦ παραδόξου καὶ ταλαιπώρου [βίου.

*ΘΡΑCΩΝΙΔΗC*

πατὴρ Κρατείας, φήις, ἐλήλυθ' [
νῦν ἢ μακάριον ἢ τρισαθλιώτατον
δείξεις με τῶν ζώντων ἁπάντων γεγονότα.
εἰ μὴ γὰρ οὗτος δοκιμάσει με, κυρίως
δώσει τε ταύτην, οἴχεται Θρασωνίδης·
ὃ μὴ γένοιτ'. ἀλλ' εἰσίωμεν· οὐκέτι
τὸ τοιοῦτον εἰκάζειν γάρ, εἰδέναι δὲ δεῖ
ἡμᾶς. ὀκνηρῶς καὶ τρέμων εἰσέρχομαι.
μαντεύεθ' ἡ ψυχή τι μου, Γέτα, κακόν.
δέδοικα. βέλτιον δ' ἁπαξἁ̣π̣[αντα τ]ῆς
οἰήσεως πως. ταῦτα θαυμάσαιμι δ' ἄν.

*ΚΛΕΙΝΙΑC*

ξένος ἐστὶν εἷς, μάγειρε, κἀγὼ καὶ τρίτη
ἐμή τις, εἴπερ νὴ Δί' εἰσελήλυθεν.
ἀγωνιῶ γὰρ καὐτός. εἰ δὲ μή, μόνος
ὁ ξένος· ἐγὼ γὰρ περιδραμοῦμαι τὴν πόλιν
ζητῶν ἐκείνην πᾶσαν. ἀλλὰ πάραγε [σὺ
καὶ τοῦ ταχέως, μάγειρε, φρόντισον πάνυ.

ΧΟΡΟΥ